λιμοῦ. [14]συνήγαγεν δὲ Ιωσηφ πᾶν τὸ ἀργύριον τὸ εὑρεθὲν ἐν γῇ 14
Αἰγύπτου καὶ ἐν γῇ Χανααν τοῦ σίτου, οὗ ἠγόραζον καὶ ἐσιτο-
μέτρει αὐτοῖς, καὶ εἰσήνεγκεν Ιωσηφ πᾶν τὸ ἀργύριον εἰς τὸν οἶκον
Φαραω. [15]καὶ ἐξέλιπεν πᾶν τὸ ἀργύριον ἐκ γῆς Αἰγύπτου καὶ ἐκ 15
γῆς Χανααν. ἦλθον δὲ πάντες οἱ Αἰγύπτιοι πρὸς Ιωσηφ λέγοντες
Δὸς ἡμῖν ἄρτους, καὶ ἵνα τί ἀποθνῄσκομεν ἐναντίον σου; ἐκλέ-
λοιπεν γὰρ τὸ ἀργύριον ἡμῶν. [16]εἶπεν δὲ αὐτοῖς Ιωσηφ Φέρετε 16
τὰ κτήνη ὑμῶν, καὶ δώσω ὑμῖν ἄρτους ἀντὶ τῶν κτηνῶν ὑμῶν,
εἰ ἐκλέλοιπεν τὸ ἀργύριον. [17]ἤγαγον δὲ τὰ κτήνη πρὸς Ιωσηφ, 17
καὶ ἔδωκεν αὐτοῖς Ιωσηφ ἄρτους ἀντὶ τῶν ἵππων καὶ ἀντὶ τῶν
προβάτων καὶ ἀντὶ τῶν βοῶν καὶ ἀντὶ τῶν ὄνων καὶ ἐξέθρεψεν
αὐτοὺς ἐν ἄρτοις ἀντὶ πάντων τῶν κτηνῶν αὐτῶν ἐν τῷ ἐνιαυτῷ
ἐκείνῳ. — [18]ἐξῆλθεν δὲ τὸ ἔτος ἐκεῖνο, καὶ ἦλθον πρὸς αὐτὸν ἐν 18
τῷ ἔτει τῷ δευτέρῳ καὶ εἶπαν αὐτῷ Μήποτε ἐκτριβῶμεν ἀπὸ τοῦ
κυρίου ἡμῶν· εἰ γὰρ ἐκλέλοιπεν τὸ ἀργύριον καὶ τὰ ὑπάρχοντα
καὶ τὰ κτήνη πρὸς σὲ τὸν κύριον, καὶ οὐχ ὑπολείπεται ἡμῖν ἐναν-
τίον τοῦ κυρίου ἡμῶν ἀλλ᾽ ἢ τὸ ἴδιον σῶμα καὶ ἡ γῆ ἡμῶν.
[19]ἵνα οὖν μὴ ἀποθάνωμεν ἐναντίον σου καὶ ἡ γῆ ἐρημωθῇ, κτῆσαι 19
ἡμᾶς καὶ τὴν γῆν ἡμῶν ἀντὶ ἄρτων, καὶ ἐσόμεθα ἡμεῖς καὶ ἡ γῆ
ἡμῶν παῖδες Φαραω· δὸς σπέρμα, ἵνα σπείρωμεν καὶ ζῶμεν καὶ
μὴ ἀποθάνωμεν καὶ ἡ γῆ οὐκ ἐρημωθήσεται. [20]καὶ ἐκτήσατο Ιω- 20
σηφ πᾶσαν τὴν γῆν τῶν Αἰγυπτίων τῷ Φαραω· ἀπέδοντο γὰρ
οἱ Αἰγύπτιοι τὴν γῆν αὐτῶν τῷ Φαραω, ἐπεκράτησεν γὰρ αὐτῶν
ὁ λιμός· καὶ ἐγένετο ἡ γῆ Φαραω, [21]καὶ τὸν λαὸν κατεδουλώσατο 21
αὐτῷ εἰς παῖδας ἀπ᾽ ἄκρων ὁρίων Αἰγύπτου ἕως τῶν ἄκρων, [22]χωρὶς 22
τῆς γῆς τῶν ἱερέων μόνον· οὐκ ἐκτήσατο ταύτην Ιωσηφ, ἐν δόσει
γὰρ ἔδωκεν δόμα τοῖς ἱερεῦσιν Φαραω, καὶ ἤσθιον τὴν δόσιν, ἣν
ἔδωκεν αὐτοῖς Φαραω· διὰ τοῦτο οὐκ ἀπέδοντο τὴν γῆν αὐτῶν.
[23]εἶπεν δὲ Ιωσηφ πᾶσι τοῖς Αἰγυπτίοις Ἰδοὺ κέκτημαι ὑμᾶς καὶ τὴν 23
γῆν ὑμῶν σήμερον τῷ Φαραω· λάβετε ἑαυτοῖς σπέρμα καὶ σπείρατε
τὴν γῆν, [24]καὶ ἔσται τὰ γενήματα αὐτῆς δώσετε τὸ πέμπτον μέρος 24
τῷ Φαραω, τὰ δὲ τέσσαρα μέρη ἔσται ὑμῖν αὐτοῖς εἰς σπέρμα τῇ
γῇ καὶ εἰς βρῶσιν ὑμῖν καὶ πᾶσιν τοῖς ἐν τοῖς οἴκοις ὑμῶν. [25]καὶ 25
εἶπαν Σέσωκας ἡμᾶς, εὕρομεν χάριν ἐναντίον τοῦ κυρίου ἡμῶν
καὶ ἐσόμεθα παῖδες Φαραω. [26]καὶ ἔθετο αὐτοῖς Ιωσηφ εἰς πρόσ- 26

14 ου] ο B† || 15 παν / το αργ. M] tr. B†, παν > A || 16 fin. M] + υμων B†, + ημων A† || 18 ηλθον] -θαν B† | αργυριον] + ημων B† | υπολιπετα (sic) B† | ημιν > A | ημων paenult. > B† || 19 ουν > B*† | ερημωθη] -θησεται A | σπερματα A: item in 23. 24 | και ζωμεν B$^c$] κ. ζησωμεν A, > B*† | ουκ A$^c$] > BA*† || 20 αυτων / ο λιμος] tr. A† | φαραω ult.] pr. τω A || 22 ταυτην > A | δομα] -ματα A || 23 εαυτοις] ε > B || 24 τω > A | εν τοις > B || 25 ευραμεν A† | φαραω] pr. τω A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/131 UNIVERSITÄT LEIPZIG